ἀλλ' οὐδὲ φίλων πέλας οὐδείς,
ὅστις ἂν εἴποι πότερον φθιμένην
χρὴ βασίλειαν πενθεῖν, ἢ ζῶσ'
ἔτι φῶς λεύσσει Πελίου τόδε παῖς
Ἄλκηστις, ἐμοὶ πᾶσί τ' ἀρίστη
δόξασα γυνὴ
πόσιν εἰς αὑτῆς γεγενῆσθαι.

ΗΜΙΧΟΡΙΟΝ.

κλύει τις ἢ στεναγμὸν ἢ — stroph.
χειρῶν κτύπον κατὰ στέγας
ἢ γόον ὡς πεπραγμένων;
οὐ μὰν οὐδέ τις ἀμφιπόλων
στατίζεται ἀμφὶ πύλας.
εἰ γὰρ μετακύμιος ἄτας,
ὦ Παιάν, φανείης.

*ΗΜΙΧ.* οὔ τἂν φθιμένης γ' ἐσιώπων.
*ΗΜΙΧ.* νέκυς ἤδη.
*ΗΜΙΧ.* οὐ δὴ φροῦδός γ' ἐξ οἴκων.
*ΗΜΙΧ.* πόθεν; οὐκ αὐχῶ. τί σε θαρσύνει;
*ΗΜΙΧ.* πῶς ἂν ἔρημον τάφον Ἄδμητος
* * * * * *
κεδνῆς ἂν ἔπραξε γυναικός;

*ΗΜΙΧ.* πυλῶν πάροιθε δ' οὐχ ὁρῶ — antistr.
πηγαῖον ὡς νομίζεται

---

79 *ἡμιχ.* praefixum in libris del. Kirchhoff | *τις* ante *πέλας* inser. *l* *πέλας ἔστ' οὐδείς* Monk 80 *εἴποι Ba*] *εἴποι L* *ἐνέ* sup. *εἴ* scr. *l* *ἐννέποι P* 81 *χρὴ βασίλειαν πενθεῖν* Blomfield] *βασίλειαν πενθεῖν χρή* libri (*α* sup. *χρή*, *β* sup. *πενθεῖν* scr. *l*) 82 *λεύσσει Πελίου τόδε* Bothe] *τόδε λεύσσει* (*λεύσει BP*) *πελίου* libri *ἔτι παῖς Πελίου λεύσσει τόδε φῶς* Blomfield 85 *αὑτῆς* G. H. Schaefer] *αὐτῆς* libri 87 *χειρῶν* Nauck] *χερῶν* libri 88 *γόον L*] *γόων r* 89 hemichorii nota hic et 91 praefixa in libris (nisi quod *P* 91 notam om.), delevit Kirchhoff, qui quidem ab hemichoriis non nisi v. 93—97 et 105—111 cani putat 90 *στατίζεται* Hermann] *στατίζετ'* libri 91 *εἰ S*] *εἴ B* *εἶ a* 92 *ὦ* Matthiae] *ἰώ* libri 93 *οὔ τἂν* Matthiae] *οὔτ' ἂν* libri | *φθιμένης* Monk] *φθιμένας* libri 94 *ΗΜΙΧ. νέκυς ἤδη. ΗΜΙΧ. οὐ δὴ φροῦδός γ' ἐξ οἴκων* Kirchhoff] *ἡμιχ. οὐ γὰρ δὴ φροῦδός γ' ἐξ οἴκων νέκυς ἤδη* (*ἤδη νέκυς P* *ἤδη* del. *l*) libri post 96 dipodiam anapaesticam excidisse coniecit Hartung 98 *πυλῶν*] fort. *δόμων* 99 *πηγαῖ' l*